eul_wid: iuc-aa

Ἀλέξανδρος ὁ Αἰτωλός · Alexander of Aetolia

# Fragments on Helios and Heroes

Ἀποσπάσματα περὶ Ἡλίου καὶ Ἡρώων

**Period:** Ἑλληνιστική Hellenistic
**Dialect:** Ἀττική Attic (frg)
**Domain:** Ποίησις Poetry
**Format:** Ἔμμετρος Verse

book 1 [ln_1]Γευσάμενος βοτάνης, ἣν Ἠελίῳ φαέθοντι ἐν μακάρων νήσοισι λιτὴ φύει εἴαρι γαῖα, Ἠέλιος δ’ ἵπποις θυμήρεα δόρπον ὀπάζει, ὕλη ναιετάουσαν, ἵνα δρόμον ἐκτελέσωσιν[ln_5]ἄτρυτοι, καὶ μή τιν’ ἕλοι μεσσηγὺς ἀνίη.

book 2.1 [ln_1]Πηδαλίῳ ἄκρῳ ἔπι

book 2.2 πομπίλος ἁνιοχεύων ἧστ’ ἀκάτω κατόπισθε, θεᾶς ὕπο πόμπιμος ἰχθύς.

book 3.1 [ln_1]Παῖς Ἱπποκλῆος

book 3.2 Φοβίος Νειληϊάδαο [para]ἔσται ἰθαιγενέων γνήσιος ἐκ

book 3.3 πατέρων. Τῷ δ’ ἄλοχος μνηστὴ δόμον ἵξεται· ἧς ἔτι νύμφης [para]ἠλάκατ’ ἐν θαλάμοις κάλ’ ἀνελισσομένης[ln_5]Ἀσσησοῦ βασιλῆος ἐλεύσεται ἔκγονος Ἀνθεύς, [para]ὅρκι’ ὁμηρείης πίστ’ ἐπιβωσάμενος, πρωθήβης, ἔαρος θαλερώτερος· (οὐδὲ Μελίσσῳ [para]Πειρήνης

book 3.4 τοιόνδ’ ἀλφεσίβοιον ὕδωρ θηλήσει μέγαν υἱόν, ἀφ’ οὗ μέγα χάρμα Κορίνθῳ[ln_10]ἔσται, καὶ βριαροῖς ἄλγεα Βακχιάδαις·) Ἀνθεὺς Ἑρμείῃ ταχινῷ φίλος, ᾧ ἔπι νύμφη [para]μαινὰς ἄφαρ

book 3.5 σχήσει τὸν λιθόλευστον ἔρων, καὶ ἑ καθαψαμένη γούνων ἀτέλεστα κομίσσαι [para]πείσει· ὁ δὲ Ζῆνα Ξείνιον αἰδόμενος[ln_15]σπονδάς τ’ ἐν

book 3.6 Φοβίου καὶ ἅλα ξυνέωνα θαλίης [para]κρήναις καὶ ποταμοῖς νίψετ’ ἀεικὲς ἔπος. Ἡ δ’, ὅταν ἀρνῆται μέλεον γάμον ἀγλαὸς Ἀνθεύς,

book 3.1 δὴ τότε οἱ τεύξει μητιόεντα δόλον, μύθοις ἐξαπαφοῦσα, λόγος δέ οἱ ἔσσεται οὗτος·[ln_20]“Γαυλός μοι

book 3.2 χρύσεος

book 3.3 φρείατος ἐκ μυχάτου νῦν ὄγ’ ἀνελκόμενος διὰ μὲν καλὸν ἤρικεν οὖσον, [para]αὔτως δ’ ἐς Νύμφας ᾤχετ’ ἐφυδριάδας· πρὸς σὲ θεῶν, ἀλλ’ εἴ μοι, ἐπεὶ καὶ πᾶσιν ἀκούω [para]ῥηϊδίην οἶμον

book 3.4 τοῦδ’ ἔμεναι

book 3.5 στομίου,[ln_25]ἰθύσας ἀνέλοιο, τότ’ ἂν μέγα φίλτατος εἴης.” [para]Ὧδε μὲν ἡ Φοβίου Νειλεΐδαο δάμαρ

book 3.6 φθέγξεθ’· ὁ δ’ οὐ φρασθεὶς ἀπὸ μὲν Λελεγήιον εἶμα [para]μητρὸς ἑῆς ἔργον θήσεται Ἐλλαμενῆς· αὐτὸς δὲ σπεύδων κοῖλον καταβήσεται ἄγκος[ln_30]φρείατος· ἡ δ’ ἐπί οἱ λιρὰ νοεῦσα γυνὴ ἀμφοτέραις

book 3.7 χείρεσσι μυλακρίδα λᾶαν ἐνήσει. [para]Καὶ τόθ’ ὁ μὲν ξείνων

book 3.8 πολλὸν ἀποτμότατος ἠρίον ὀγκώσει τὸ μεμορμένον· ἡ δ’ ὑπὸ δειρὴν ἁψαμένη σὺν τῷ βήσεται εἰς Ἀΐδην.

book 4.1 [ln_1]Ἀλλ’ ὅγε

book 4.2 πευθόμενος πάγχυ Γραικοῖσι μέλεσθαι [para]Τιμόθεον, κιθάρης ἴδμονα καὶ μελέων, υἱὸν Θερσάνδρου τὸν ᾔνεσεν ἀνέρα σίγλων [para]χρυσείων ἱερὴν δὴ τότε

book 4.3 χιλιάδα[ln_5]ὑμνῆσαι

book 4.4 ταχέων τ’ Ὦπιν βλήτειραν ὀϊστῶν, [para]ἥ τ’ ἐπὶ Κεγχρείῳ τίμιον οἶκον ἔχει, . . . . . . . . μηδὲ θεῆς

book 4.5 προλίπῃ Λητωΐδος ἀκλέα ἔργα.

book 5.1 ... ὡς Ἀγαθοκλεῖος λάσιαι

book 5.2 φρένες ἤλασαν ἔξω [para]πατρίδος. Ἀρχαίων ἦν ὅδ’ ἀνὴρ

book 5.3 προγόνων, εἰδὼς ἐκ νεότητος ἀεὶ ξείνοισιν ὁμιλεῖν [para]ξεῖνος, Μιμνέρμου δ’ εἰς ἔπος ἄκρον ἰὼν[ln_5]παιδομανεῖ σὺν ἔρωτι

book 5.4 ποτὴν ἴσον· ἔγραφε δ’ ὡνὴρ [para]εὖ παρ’ Ὁμηρείην ἀγλαΐην ἐπέων

book 5.5 πισύγγους ἢ φῶρας ἀναιδέας ἤ τινα

book 5.6 χλούνην [para]φλύοντ’ ἀνθηρῇ σὺν κακοδαιμονίῃ, οἷα

book 5.7 Συρηκόσιος, καὶ ἔχων χάριν· ὃς δὲ Βοιωτοῦ[ln_10]ἔκλυεν, Εὐβοίῳ τέρπεται οὐδ’ ὀλίγον.

book 6.1 Οἳ καὶ ἐπ’ Ἀσκανίων δώματ’ ἔχουσι ῥοῶν λίμνης Ἀσκανίης ἐπὶ χείλεσιν, ἔνθα Δολίων [para]υἱὸς

book 6.2 Σειληνοῦ νάσσατο καὶ Μελίης.

book 7.1 Ὁ δ’ Ἀναξαγόρου

book 7.2 τρόφιμος χᾳοῦ στρυφνὸς μὲν ἔμοιγε

book 7.3 προσειπεῖν, καὶ μισογέλως, καὶ τωθάζειν οὐδὲ παρ’ οἴνῳ μεμαθηκώς, ἀλλ’ ὅ,τι γράψαι

book 7.4 τοῦτ’ ἂν μέλιτος καὶ Σειρήνων ἐτετεύχει.

book 8.1 Αὐτά που τὰν Κύπριν ἀπηκριβώσατο

book 8.2 Παλλὰς [para]τᾶς ἐπ’ Ἀλεξάνδρου λαθομένα κρίσιος.

book 9.1 [ln_1]Σάρδιες ἀρχαῖος

book 9.2 πατέρων νομός, εἰ μὲν ἐν ὑμῖν [para]ἐτρεφόμαν, κερνᾶς ἦν

book 9.3 τις ἂν ἢ βακέλας

book 9.4 χρυσοφόρος, ῥήσσων λάλα τύμπανα· νῦν δέ μοι Ἀλκμὰν [para]οὔνομα, καὶ Σπάρτας εἰμὶ πολυτρίποδος,[ln_5]καὶ Μούσας ἐδάην Ἑλικωνίδας, αἵ με

book 9.5 τυράννων [para]θῆκαν Κανδαύλεω μείζονα καὶ Γύγεω.

book 15 ὑπὸ Δάφνιδος μαθεῖν Μαρσύαν τὴν αὐλητικήν

book 18.1 Ἄνθρωπε ζωῆς

book 18.2 περιφείδεο, μηδὲ παρ’ ὥρην [para]ναυτίλος ἴσθι· καὶ ὣς οὐ πολὺς ἀνδρὶ βίος· δείλαιε Κλεόνικε, σὺ δ’ εἰς λιπαρὴν Θάσον ἐλθεῖν [para]ἠπείγευ, κοίλης ἔμπορος ἐκ

book 18.3 Συρίης,[ln_5]ἔμπορος, ὦ Κλεόνικε· δύσιν δ’ ὑπὸ Πλειάδος αὐτὴν

book 18.4 ποντοπορῶν αὐτῇ Πλειάδι

book 18.5

συγκατέδυς.